# 71 [58]. DIOGENES VON SMYRNA

1. S. Eus. II 230, 14; Diog. das. Z. 16; Clem. das. 231, 4.

2. Epiphan. adv. haer. III 2, 9 n. 17 (D. 591) Διογένης ὁ Σμυρναῖος, κατὰ δέ τινας Κυρηναῖος, τὰ αὐτὰ τῶι Πρωταγόραι ἐδόξασε.

---

# 72 [59]. ANAXARCHOS

## A. LEBEN UND LEHRE

1. Diog. IX 58—60 Ἀνάξαρχος Ἀβδηρίτης. οὗτος ἤκουσε Διογένους τοῦ Σμυρναίου· ὁ δὲ Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε μηδ' αὐτὸ τοῦτ' εἰδέναι ὅτι οὐδὲν οἶδε· Μητρόδωρον δὲ Νεσσᾶ τοῦ Χίου, οἱ δὲ Δημοκρίτου φασὶν ἀκοῦσαι. ὁ δ' οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρωι συνῆν καὶ ἤκμαζε κατὰ τὴν δεκάτην καὶ ἑκατοστὴν ὀλυμπιάδα [340—337] καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα τὸν Κύπρου τύραννον· καί ποτε ἐν συμποσίωι τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτόν, τί ἄρα δοκεῖ τὸ δεῖπνον, εἰπεῖν φασιν· 'ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι' ἀπορρίπτων πρὸς τὸν Νικοκρέοντα. (59) ὁ δὲ μνησικακήσας μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ὅτε πλέων ἀκουσίως προσηνέχθη τῆι Κύπρωι ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις. τὸν δὲ οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν ἐκεῖνο δὴ τὸ περιφερόμενον· 'πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πτίσσεις'. κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποτραγόντα προσπτύσαι αὐτῶι. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ⟨ἔχον⟩ [Anth. P. VII 133]·

πτίσσετε, Νικοκρέων, ἔτι καὶ μάλα· θύλακός ἐστι·
πτίσσετ'· Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι.
καὶ σὲ διαστείλασα γνάφοις ὀλίγον (?) τάδε λέξει
ῥήματα Φερσεφόνη· 'ἔρρε μυλωθρὲ κακέ'.

(60) οὗτος διὰ τὴν ἀπάθειαν καὶ εὐκολίαν τοῦ βίου Εὐδαιμονικὸς ἐκαλεῖτο· καὶ ἦν ἐκ τοῦ ῥᾴστου δυνατὸς σωφρονίζειν. τὸν γοῦν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν ἐπέστρεψεν· ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῶι καταρρέον αἷμα, δείξας τῆι χειρὶ πρὸς αὐτόν φησι· 'τουτὶ μὲν αἷμα καὶ οὐκ ἰχώρ, οἷός πέρ τε ῥέει

---

7—9 vgl. zu II 230, 16—18 13 φησὶν BP[1] πολυτελῆ Φ 14 παρατεθῆναι Φ 16 vgl. A 13 II 239, 1. Vgl. Anon. in Eth. Nic. XX 177, 29 ed. Heylbut. — Cosmas zu Greg. Naz. (Spicileg. Roman. II 206 Mai) nennt statt Nikokreon den Tyrannen Archelaos. Vgl. Nonn. ad Greg. Naz. XXXVI 993 Migne 18 πτίσσε BPF: πτίσσε bis Φ πτίσσεις Menagius (vgl. II 239, 2): πλήττεις Hss. 20 ⟨ἔχον⟩ Cobet 24 διαστείλασα γνάφοις ὀλίγον τάδε λέξει Jacobs: διαστείλας ὀλίγον τὰ δὲ νέφη (ταδ////νεφη P, τὰ δυσνεφῆ F) τάδε λέξει BPF γνάφοις Jacobs: γένειφει Anth.: ähnl. Verderbnis steckt in δενεφη des Diog. etwa ὀλίγ' ἐνθάδε (nach Martern hienieden schickt sie dich [Nikokr.] mit kurzen Worten εἰς κόρακας)? Diels 25 περσεφόνη Anth. ἔρρε Anth.: ἔρρεε P: ἐρεε BF κακή Hss. Anth. 28 ἐπέτρεψεν F